BISETVS. Ὠκυτόκεια.] φάρμακα τὸν τόκον ταχύνοντα, καὶ τὰς γυναῖκας τὰς ὠδινούσας ὦκα, ἔτι ὠκέως, καὶ ταχέως τίκτειν ποιοῦντα. ὠδίνειν δὲ κυρίως λέγονται αἱ γυναῖκες ἐπὶ τοκετῷ. ἀλλαχοῦ δὲ ἁπλῶς ἀλγεῖν,

A καὶ λυπεῖσθαι δηλοῖ. ἐνίοτε δὲ καὶ διὰ στολῆς χρᾶσθαι ὀδυνήσιν ὠδίνειν λέγονται. ἀντὶ δὲ τοῦ τὸ δ' εἰσέφερε, βέλτιον ἴσως γράφειν, τότ' εἰσέφερε, τουτέστι τότε. ἢ τὸ ἕτερον τῶν ἄρθρων Ἀττικῶς πλεονάζει.

Τὸ δ' εἰσέφερε γραῦς ἐν χύτρᾳ τὸ παιδίον
Ἵνα μὴ βοῴη κηρίῳ βεβυσμένον.
Εἶθ' ὡς ἔνευσεν ἡ φέρουσ' εὐθὺς βοᾷ
Ἄπελθ' ἄπελθ'. ἤδη γὰρ ὦ 'νερ μοι δοκῶ
Τέξειν. τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν.
Χ' ὁ μὲν γεγηθὼς ἔτρεχεν, ἡ δ' ἐξέσπασεν
Ἐκ τοῦ στόματος τοῦ παιδίου. τὸ δ' ἀνέκραγεν.
Εἶθ' ἡ μιαρὰ γραῦς ἣ 'φερε τὸ παιδίον
Θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα, καὶ λέγει.
Λέων λέων σοι γέγονεν αὔτ' εἶγμα σόν.
Τά τ' ἄλλ' ἀπαξάπαντα καὶ τὸ πόσθιον
Τῷ σῷ προσόμοιον στρεβλὸν ὥσπερ κύτλαρον.
Ταῦτ' οὐ ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν
Ἡμεῖς γε κᾆτ' Εὐριπίδῃ θυμούμεθα
Οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν.
Χο. Τουτὶ μέντοι θαυμαστὸν
Ὁπόθεν εὑρέθη τὸ χρῆμα
Χ' ἥτις ἐξέθρεψε χώρα
Τὴν δὲ τὴν θρασεῖαν οὕτω.
Τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον
Κατὰ τὸ φανερὸν ὧδ' ἀναιδῶς
Οὐκ ἂν ᾠόμην ἐν ἡμῖν οὐδὲ τολμῆσαί ποτ' ἄν.
Ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη.
Τὴν παροιμίαν δ' ἐπαινῶ
Τὴν παλαιάν. ὑπὸ λίθῳ γὰρ
Παντί που χρὴ μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.
Ἀλλ' οὐ γάρ ἐστι τῆς ἀναισχύντου φύσει γυναικῶν
Οὐδὲν κάκιον εἰς ἅπαντα πλὴν ἄρ' ἢ γυναῖκες.
Γυν. Οὔτοι μὰ τὴν Ἄγραυλον ὦ γυναῖκες εὖ φρονεῖτε

*Intulit autem anus in olla infantem,*
*Vt ne clamaret cerula obturatum.*
B *Deinde vt annuit capite anus quæ ferebat, uxor statim clamat,*
*Abi abi: iam enim ô vir mihi videor*
*Paritura esse, imum ventrem enim infans calcibus percussit.*
*Et hic quidem lætatus cucurrit, hæc verò traxit*
*Ex ore infantis cerulam, ille verò clamauit.*
*Deinde scelesta anus quæ ferebat infantem,*
C *Currit ridens ad maritum, & dicit,*
*Leo leo tibi natus est, ipsa effigies tua,*
*Et in reliqua omnia, & membrum virile*
*Tuo persimile tortum & compactum quemadmodum nucamentum.*
*Hæc si facimus mala per Dianam,*
*Nos quidem contra Euripidem irascimur,*
*Nihil passæ plus quam fecimus.*
*CH. Hoc tamen mirum est,*
D *Vnde inuenta sit res hæc,*
*Et quænam educarit regio*
*Hanc arrogantem ita.*
*Hæc enim dicturam fuisse versutam*
*Apertè ita impudenter,*
*Non existimassem inter nos, neque ausuram fuisse vnquam,*
*Sed omne fieri & euenire posset iam.*
E *Prouerbium autem laudo*
*Vetus, Sub lapide enim*
*Omni alicubi oportet, ne mordeat orator, spectare.*
*Veruntamen est impudentibus natura mulierib.*
*Nihil peius ad omnia, præterquam scilicet mulieres.*
*MVL. Non per agrestem & venatricem Dianam ô mulieres, bene sapitis.*
F

BOVRDINVS. Κηρίῳ βεβυσμένον.] τουτέστιν μικρῷ μορίῳ κηροῦ πεφραγμένον καὶ κεκαλυμμένον, ὥστε ἀπείργειν τὴν βοήν. ἔνθεν καὶ ἀκρόβυστος, ὅτ' ἄκρον βεβυσμένον ἔχων. Ἔνευσε] προσένευσε. Τὸ ἦτρον] τὸ μέρος ὑπὸ τὸν ὀμφαλόν, καὶ τὸ κάλυμμα τῆς μήτρας, ὃ καλεῖται ἄλλως ἔκυτρον, καὶ ἐκπέτασμα τῆς χύτρας, ὁ παῖς ὁ ἐν τῇ χύτρᾳ ὤν. καὶ γὰρ οἱ παλαιοὶ τὰ παιδία ἐνέφερον καὶ ἐτίθεντο ἐν ταῖς χύτραις, τουτέστιν ἐν κεραμικοῖς σκεύεσιν. γνώμη δὲ ἤδη ἐστίν, ἄπερχου δὴ ὦ ἄνερ, καὶ γὰρ δοκῶ μοι εὐθὺς τέξειν τὸν παῖδα. ὁ γὰρ παῖς ὃν δὴ ἔφερεν ἡ γραῦς ἐν χύτρᾳ ἀγνοοῦντος τοῦ ἀνδρός. καὶ διὰ τοῦτο χύτραν καλεῖ, τιθεὶς τὸ συνέχον ἀντὶ τοῦ συνεχομένου, ἐλάκτισε πρὸς τὸ ἦτρον ὡς ἐθέλων καὶ σπουδάζων ἤδη ἐξελθεῖν. Γεγηθώς.] χαίρων, ἐπιχαρής. Ἐξέσπασεν.] ἐξέτιλε ἐκ τοῦ στόματος τοῦ παιδίου τὸ κήρινον, ὥσπερ δὴ ἐβέβυστο ὑπὲρ τοῦ μὴ ὀλολύζειν, ἵνα ἐκπαταθέντος ἐκείνου ἀνακεράζῃ, ὡς τεχθέν.

Μειδιῶσα] γελῶσα. Εἶγμα σόν.] τὸ ἀπείκασμα σόν, τὸ ἀφομοίωμα, ὁ παῖς πλασθεὶς εἰς τὴν σοῦ ὁμοιότητα. Τὸ πόσθιον] τὸ αἰδοῖον. Στρεβλόν.] διεστραμμένον, καὶ καμπυλόν. Κύτλαρον.] κύτλαρος λέγεται τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηνται ἡ βάλανος, ἢ τῆς βαλάνου πυελίς, ἢ τὸ τῆς ῥοιᾶς προεξάνθημα. λέγεται χ' ἡ ἐν τοῖς κηρίοις τῶν μελισσῶν πυελίς, καὶ κατάτρησις. ἢ τοῦ οὐρανοῦ μέρος ὑψηλότατον καὶ ἀκροκόρυφον. ἐνταῦθα ὁ Ἀριστοφάνης ἀξιομιμεῖται τοὺς ἄνδρας οἵπερ οὕτω ἐξαπαλώμενοι ὑπὸ γυναικῶν ἐναρέσκονται τοιούτοις
G μαγγανεύμασιν καὶ δελεάμασιν. Κατ'] κεῖται, χελιαστικὸν τοῦτο ἐπίρρημα. ὀργιζόμεθα τῷ Εὐριπίδῃ οὐδὲν τραχύτερον καὶ μεῖζον παθοῦσαι, ἢ ὅπερ δὴ ἐποιήσαμεν καὶ εἰργασάμεθα. Τουτὶ μέντοι θαυμαστόν] θαυμάζει ὁ χορὸς καὶ ἐκπλήττεται ὑπὸ θρασύτητος ταύτης τῆς κηδεστοῦ οὕτω φανερῶς κατηγοροῦντος καὶ κακολογοῦντος τῶν γυναικῶν. θαυμαστόν, φησίν, ἐστὶν ὁπόθεν εὑρέθη τοιόνδε τὸ χρῆμα τῆς γυναικός, τουτέστι τοιαύτη γυνή, Ἀττικῶς. Τὴν